βηθήσῃ ἀπὸ φόβου μυκτερισμοῦ, ἀπὸ βέλους πετομένου ἡμέρας, ἀπὸ πράγματος ἐν σκότει διαπορευομένου, ἀπὸ συμπτώματος καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρὸς σὲ δὲ οὐκ ἐγγιεῖ. Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ Κύριε ἡ ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρὸς σὲ κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ ἐν τῷ σκηνώματί σου. Ὅτι τοῖς Ἀγγέλοις αὐτοῦ ἐντελεῖται περὶ σοῦ, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσίν σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. Ὅτι ἐπ' ἐμὲ ἤλπισε, καὶ ῥύσομαι αὐτόν. σκέπασω αὐτὸν, ὅτι ἔγνω τὸ ὄνομά μου. Κεκράξεται πρός με, καὶ ἐπακούσομαι αὐτοῦ. μετ' αὐτοῦ εἰμὶ ἐν θλίψει, ἐξελοῦμαι αὐτὸν, καὶ δοξάσω αὐτόν. Μακρότητα ἡμερῶν ἐμπλήσω αὐτὸν, καὶ δείξω αὐτῷ τὸ σωτήριόν μου. Δόξα.

Ἀνίστρεφετο ποτέ. Καὶ νῦν.

ὅτι οὐκ ἔχομεν παρρησίαν.

Εἶτα, τὰ Ἰδιόμελα, ᾨχ, πβ.

Κεφ. β'. 3.

Ἀδὲ λέγει Κύριος πρὸς Ἰωαμμῶν. Προφῆτα δεῦρο βάπτισόν με, τὸν σὲ δημιουργήσαντα. τὸν φωτίζοντα χάριτι, καὶ καθαίροντα ἅπαντας. ἄφαι θείας κορυφῆς μου, καὶ μὴ διψάσῃς. Προφῆτα ἄφαι ἄρτι. καὶ γὰρ πληρῶσαι παραγέγονα δικαιοσύνῃ πᾶσαν. σὺ οὖν μὴ διψάσῃς ὅλως. καὶ γὰρ τὸν κεκρυμμένον τοῖς ὕδασι πολέμιον, τὸν ἄρχοντα τοῦ σκότους, ἐπείγομαι ὀλέσαι, λυτρούμενος τὸν Κόσμον, ἐκ τῶν αὐτοῦ παγίδων μου. παρέχων ὡς φιλάνθρωπος, ζωὴν τὴν αἰώνιον.

Πάλιν τὸ αὐτὸ, αὐτὸ ἦχος, πβ.

Ἁγ. Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδ.

Κεφ. ς'. 3.

Ἡμῖν ἡ ψαλμικὴ Προφητεία, πᾶσι λαοῖς ἐπείγεται. ἡ Θάλασσα γὰρ φησιν, εἶδε καὶ ἔφυγεν. ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω, ἀπὸ προσώπου Κυρίου, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰακώβ, ἐλθόντος ἀπὸ δάλου δέξασθαι Βάπτισμα, ἵνα ἡμᾶς εἰδωλικῆς ἀκαθαρσίας ἐκπλυθέντας, φωτισθῶμεν τὰς ψυχὰς δι' αὐτοῦ.

Παλιν τὸ αὐτό.

Ἁγ. Εἴδοσάν σε ὕδατα ὁ Θεός.

Δόξα, ᾨχ, πά.

Τί σοι ἀχαΐτιζήσατε τὰ ὕδατα ὦ Ἰορδάνη; τί ἀνταποδίζεις τὸ ῥεῖθρον, καὶ ὑποβαίνεις τὴν κατὰ φύσιν πορείαν; ὑδωρ ἁμαρτίαν φησὶ, πῦρ καταναλίσκον. δέξασθαι δὲ φείδεται τὴν ἄκραν συγκατάβασιν. ὅτι οὐκ ἔλουσθαι τὸν καθαρὸν ἀπὸ πλυσθαι, οὐκ ἔμαθον τὸν ἀναμάρτητον ἀποσμήχειν. ἀλλὰ τὰ ῥύπου πεσόντα σκάνη ἐκκαθαίρειν. ἀκάθας φλέγειν μὴ ἁμαρτημάτων διδάσκει, ὁ ἐν ἐμοὶ βαπτιζόμενος Χριστός. ὁ Ἰωάννης συμμαρτυρεῖ μοι. ἡ φωνὴ τοῦ Λόγου βοᾷ. ἴδε ὁ Ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ Κόσμου. αὐτῷ πιστοὶ βοήσωμεν. ὁ ἐπιφανεὶς Θεὸς, εἰς τὴν ἡμῶν σωτηρίαν, δόξα σοι.

Καὶ νῦν, τὸ αὐτό.

Προκείμενον, ᾨχ, ᾱ.

Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων.

Ἐμέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ.

Εἶτα, ἡ Προφητεία.

Προφητείας Ἡσαΐου τὸ Ἀναγνωσμα.

Κεφ. β'. 3.

Ἁδε λέγει Κύριος. αὐτλήσατε ὕδωρ μετ' ἀφροσύνης, ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ἐρεῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγέλατε ἐν τοῖς Ἔθνεσι τὰ ἔνδοξα αὐτοῦ, μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. ἌΙσατε τὸ ὄνομα Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν. ἀναγγέλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε, καὶ ἀνφραίνεσθε, οἱ κατοικοῦντες Σιών. ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ, ἐν μέσῳ αὐτῆς.

Ὁ Ἀπόστολος.

Πρὸς Ῥωμαίους Ἐπιστολῆς.

Κεφ. ς'. 3.

Ἀδελφοὶ, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, εἰς τὸν θάνατον αὐτοῦ ἐβαπτίσθημεν. Συνετάφημεν οὖν αὐτῷ διὰ τοῦ βαπτίσματος εἰς τὸν θάνατον. ἵνα ὥσπερ ἠγέρθη Χριστὸς ἐκ νεκρῶν διὰ τῆς δόξης τοῦ Πατρὸς, οὕτω καὶ ἡμεῖς ἐν καινότητι ζωῆς περιπατήσωμεν. Εἰ γὰρ σύμφυτοι γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα. Τοῦτο γινώσκοντες, ὅτι ὁ παλαιὸς ἡμῶν ἄνθρωπος συνεσταυρώθη, ἵνα καταργηθῇ τὸ σῶμα τῆς ἁμαρτίας, τοῦ μηκέτι δουλεύειν ἡμᾶς

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

ἡμᾶς τῇ ἁμαρτίᾳ. Ὁ γὰρ ἀποθανὼν δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας. Εἰ δὲ ἀπεθάνομεν σὺν Χριστῷ, πιστεύομεν, ὅτι καὶ συζήσομεν αὐτῷ. Εἰδότες ὅτι Χριστὸς ἐγερθεὶς ἐκ νεκρῶν, οὐκέτι ἀποθνήσκει. Θάνατος αὐτοῦ, οὐκ ἔτι κυριεύει. ὃ γὰρ ἀπέθανε, τῇ ἁμαρτίᾳ ἀπέθανεν ἐφάπαξ. ὃ δὲ ζῇ, ζῇ τῷ Θεῷ. Οὕτω καὶ ὑμεῖς λογίζεσθε ἑαυτοὺς, νεκροὺς μὲν εἶναι τῇ ἁμαρτίᾳ, ζῶντας δὲ τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

Εὐαγγέλιον κατὰ Μάρκον.

Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας.

Καὶ ἀθύε. Ταχὺ προκαταλαβέτωσαν ἡμᾶς οἱ Οἰκτιρμοί σου Κύριε. Εἶτα, τὸ Τρισάγιον. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστὶν ἡ Βασιλεία. Εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Κύριε ἐλέησον, μ'. Ὀξὺ ἐν παντὶ καιρῷ. Κύριε ἐλέησον, γ'.

Δόξα, καὶ νῦν.

Τὸν τιμιώτερον. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον Πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς,

Εἶτα ἡ Εὐχή.

Εὐχαριστοῦμέν σοι Κύριε τῇ δυνάμει, καὶ πάσης Κτίσεως Δημιουργέ. ὁ διὰ σπλάγχνα οἰκτιρμοῦ ἐλεήσας, τὸν μονογενῆσον Υἱὸν, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν, καταπέμψας σοῖς σωτηρίοις τῇ γενεᾷ ἡμῶν, καὶ διὰ τῆς τιμίας αὐτοῦ Σταυρᾶς τὸ χειρόγραφον τῶν ἁμαρτιῶν ἡμῶν διαῤῥήξας, καὶ θριαμβεύσας ἐν αὐτῷ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας τοῦ σκότους. Αὐτὸς Δέσποτα φιλάνθρωπε, πρόσδεξαι καὶ ἡμῶν τῶν ἁμαρτωλῶν τὰς ἀχαριστηρίους ταύτας Σ ἱκετηρίους ὑπαδέξεις, καὶ ῥῦσαι ἡμᾶς ἀπὸ παντὸς ὀλεθρίου καὶ σκοτεινοῦ παραπτώματος Σ παντὸς τοῦ κακώσαι ἡμᾶς ζητοῦντος, ὁρατοῦ Σ ἀοράτου ἐχθροῦ. Καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας ἡμῶν. Καὶ μὴ ἐκκλίνῃς τὰς καρδίας ἡμῶν εἰς λόγους, ἢ εἰς λογισμοὺς πονηρίας, ἀλλὰ τῷ πόθῳ σου ῥῶσον ἡμῶν τὰς ψυχάς. Ἵνα πρὸς σὲ διὰ παντὸς ἀτενίζοντες, καὶ τῷ παρὰ σοῦ φωτὶ ὁδηγούμενοι, σὲ τὸ ἀΐδιον καὶ ἀπρόσιτον κατοπτεύοντες φῶς, ἀκατάπαυστόν σοι τὴν ἐξομολόγησιν Σ εὐχαριστίαν ἀναπέμπωμεν, τῷ ἀνάρχῳ Πατρὶ, σὺν τῷ μονογενεῖ σου Υἱῷ, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν, καὶ ἀεὶ, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ω'ΡΑ Ε'ΝΝΑ'ΤΗ.

Τὸ, Τρισάγιον. τὸ, Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστὶν. τὸ, Κύριε ἐλέησον, ιβ'. Δεῦτε προσκυνήσωμεν, γ'. καὶ τὸν Ψαλμόν.

Ψαλμὸς, ιβ'.

Κύριος ἐβασίλευσεν, ὠρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο. Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. Ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ. Ἐπῆραν οἱ Ποταμοὶ Κύριε, ἐπῆραν οἱ Ποταμοὶ φωνὰς αὐτῶν. Ἀροῦσιν οἱ Ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς Θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος. Τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. Τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε, εἰς μακρότητα ἡμερῶν.

Ψαλμὸς, ριγ'.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἶκος Ἰακὼβ ἐκ λαοῦ βαρβάρου. Ἐγενήθη Ἰουδαία ἁγίασμα αὐτοῦ, Ἰσραὴλ ἐξουσία αὐτοῦ. Ἡ Θάλασσα εἶδε, καὶ ἔφυγεν ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω. Τὰ ὄρη ἐσκίρτησαν ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων. Τί σοι ἔστι Θάλασσα ὅτι ἔφυγες; καὶ σὺ Ἰορδάνη ὅτι ἐστράφης εἰς τὰ ὀπίσω; Τὰ ὄρη ὅτι ἐσκιρτήσατε ὡσεὶ κριοὶ, καὶ οἱ βουνοὶ ὡς ἀρνία προβάτων; Ἀπὸ προσώπου Κυρίου, ἐσαλεύθη ἡ γῆ, ἀπὸ προσώπου Θεοῦ Ἰακώβ. Τοῦ στρέψαντος τὴν πέτραν εἰς λίμνας ὑδάτων, καὶ τὴν ἀκρότομον εἰς πηγὰς ὑδάτων. Μὴ ἡμῖν Κύριε, μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σου δὸς δόξαν, Ἐπὶ τῷ ἐλέει σου καὶ τῇ ἀληθείᾳ σου. Μήποτε εἴπωσι τὰ Ἔθνη, ποῦ ἐστὶν ὁ Θεὸς αὐτῶν; Ὁ δὲ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησε. Τὰ εἴδωλα τῶν ἐθνῶν, ἀργύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώπων. Στόμα ἔχουσι καὶ οὐ λαλήσουσιν· ὀφ-

Δημόσια Κεντρική Βιβλιοθήκη Χαλκίδος

θαλμὸς ἔχουσι, καὶ οὐκ ὄψονται. Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται. ῥῖνας ἔχουσι, καὶ οὐκ ὀσφρανθήσονται. Χεῖρας ἔχουσι, καὶ οὐ ψηλαφήσουσι. πόδας ἔχουσι, καὶ οὐ περιπατήσουσιν. οὐ φωνήσουσιν ἐν τῷ λάρυγγι αὐτῶν. Ὅμοιοι αὐτοῖς γένοιντο οἱ ποιοῦντες αὐτὰ, καὶ πάντες οἱ πεποιθότες ἐπ' αὐτοῖς. Οἶκος Ἰσραὴλ ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἶκος Ἀαρὼν ἤλπισεν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστιν. Οἱ φοβούμενοι τὸν Κύριον, ἤλπισαν ἐπὶ Κύριον, βοηθὸς καὶ ὑπερασπιστὴς αὐτῶν ἐστι. Κύριος μνησθεὶς ἡμῶν, εὐλόγησεν ἡμᾶς. Εὐλόγησε τὸν οἶκον Ἰσραὴλ, εὐλόγησε τὸν οἶκον Ἀαρών. Εὐλόγησε τοὺς φοβουμένους τὸν Κύριον, τοὺς μικροὺς μετὰ τῶν μεγάλων. Προσθείη Κύριος ἐφ' ὑμᾶς, ἐφ' ὑμᾶς, καὶ ἐπὶ τοὺς Τέκνα ὑμῶν. Εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ, τῷ ποιήσαντι τὸν Οὐρανὸν καὶ τὴν γῆν. Ὁ Οὐρανὸς τῷ Οὐρανῷ τῷ Κυρίῳ, τὴν δὲ γῆν ἔδωκε τοῖς Τέκνοις τῶν ἀνθρώπων. Οὐχ οἱ νεκροὶ αἰνέσουσί σε Κύριε, οὐδὲ πάντες οἱ καταβαίνοντες εἰς ᾅδου. Ἀλλ' ἡμεῖς οἱ ζῶντες εὐλογήσομεν τὸν Κύριον, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.

Ψαλμὸς, πε'.

Κλῖνον Κύριε τὸ οὖς σου, καὶ ἐπάκουσόν μου, ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Φύλαξον τὴν ψυχήν μου, ὅτι ὅσιός εἰμι. σῶσον τὸν δοῦλόν σου ὁ Θεός μου, τὸν ἐλπίζοντα ἐπὶ σέ. Ἐλέησόν με Κύριε, ὅτι πρός σε κεκραξόμαι ὅλην τὴν ἡμέραν. εὔφρανον τὴν ψυχὴν τοῦ δούλου σου, ὅτι πρός σε ἦρα τὴν ψυχήν μου. Ὅτι σὺ Κύριε χρηστὸς, καὶ ἐπιεικὴς, καὶ πολυέλεος, πᾶσι τοῖς ἐπικαλουμένοις σε. Ἐνώτισαι Κύριε τὴν προσευχήν μου, καὶ πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου. Ἐν ἡμέρᾳ θλίψεώς μου ἐκεκραξα πρὸς σὲ, ὅτι ἐπήκουσάς μου. Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς Κύριε, καὶ οὐκ ἔστι κατὰ τὰ ἔργα σου. Πάντα τὰ Ἔθνη ὅσα ἐποίησας, ἥξουσι καὶ προσκυνήσουσιν ἐνώπιόν σου Κύριε, καὶ δοξάσουσι τὸ ὄνομά σου. Ὅτι μέγας εἶ σὺ, καὶ ποιῶν θαυμάσια, σὺ εἶ Θεὸς μόνος. Ὁδήγησόν με Κύριε ἐν τῇ ὁδῷ σου, καὶ πορεύσομαι ἐν τῇ ἀληθείᾳ σου. εὐφρανθήτω ἡ καρδία μου, τοῦ φοβεῖσθαι τὸ ὄνομά σου. Ἐξομολογήσομαί σοι Κύριε ὁ Θεός μου ἐν ὅλῃ καρδίᾳ μου, καὶ δοξάσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα. Ὅτι τὸ ἔλεός σου μέγα ἐπ' ἐμὲ, καὶ ἐρρύσω τὴν ψυχήν μου ἐξ ᾅδου κατωτάτου. Ὁ Θεὸς, παράνομοι ἐπανέστησαν ἐπ' ἐμὲ, καὶ συναγωγὴ κραταιῶν ἐζήτησαν τὴν ψυχήν μου, καὶ οὐ προέθεντό σε ἐνώπιον αὐτῶν. Καὶ σὺ Κύριε ὁ Θεός μου, Οἰκτίρμων καὶ Ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός. Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με. δὸς τὸ κράτος σου τῷ παιδίσκῃ σου, καὶ σῶσον τὸν Υἱὸν τῆς παιδίσκης σου. Ποίησον μετ' ἐμοῦ σημεῖον εἰς ἀγαθὸν, καὶ ἰδέτωσαν οἱ μισοῦντές με, καὶ αἰσχυνθήτωσαν. Ὅτι σὺ Κύριε ἐβοήθησάς μοι, καὶ παρεκάλεσάς με.

Δόξα.

Ἃ πεφρέφετο ποτέ.

Καὶ νῦν.

Ὁ δι' ἡμᾶς γενηθεὶς ἐκ Παρθένου.

Εἶτα, τὰ Ἰδιόμελα. Ἦχος, βαρύς.

Ἄμβος ἦν κατιδεῖν, τὸν Οὐρανὸν καὶ γῆς Ποιητὴν, ἐν Ποταμῷ γυμνωθέντα, βάπτισμα λαβεῖν δούλου, εἰς ἡμῶν σωτηρίαν, δεχόμενον ὡς δοῦλον. καὶ χοροὶ Ἀγγέλων ἐξεπλήττοντο, φόβῳ καὶ χαρᾷ. μεθ' ὧν προσκυνοῦμέν σε. σῶσον ἡμᾶς Κύριε.

Πάλιν τὸ αὐτό, αὐτὴ ἡ.

Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου. Ἦχος, β'.

Τε πρὸς αὐτὸν ἐρχόμενον ὁ Πρόδρομος, τὸν Κύριον τῆς δόξης, ἐβόα θεωρῶν. ἴδε ὁ λυτρούμενος τὸν Κόσμον, παραγέγονεν ἐκ φθορᾶς. ἴδε ῥύεται ἡμᾶς ἐκ θλίψεως. ἰδοὺ ἀμαρτημάτων ἄφεσιν χαριζόμενος ἐπὶ γῆς, ἐκ Παρθένου Ἀγνῆς ἐλήλυθε δι' ἔλεον. καὶ αὐτὸς δι' ὅλων, Τίνος Θεοῦ ἐρᾷζεται. αὐτὸς δὲ σκότος, φωτίζει τὸ ἀνθρώπινον, διὰ τοῦ ὕδατος τοῦ θείου βαπτισμοῦ αὐτοῦ. λοιπὸν, δεῦτε συμφώνως αὐτῷ δοξολογήσωμεν, σὺν Πατρὶ, καὶ Ἁγίῳ Πνεύματι.

Εἴδοσαν σε ὕδατα ὁ Θεός.

Πάλιν τὸ αὐτό.

Δόξα, Ἦχος, πλ. δ'.

Ἐφ' ἑσπέρας, ὅτι τὸ παρὸν Ἰδιόμελον, ἐφάνη ἡμῖν πρότερον ἀλλαχοῦ καὶ μεγαλοφώνως

Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

μως παρὰ τῦ Καμομάρχου ἐμ τῷ μέσῳ τῦ Ναῦ. εἶτα ψάλλεται μελῳδικῶς ἀπὸ τῆς δύο Χορῶν, εἰς ἦχον, ϑ'. ά.

Ψ Ἡμ χεῖράσι τῳ ἀψαμένῳ, τῳ ἀκήρατον κορυφῳ τῦ Δεσπότε, μεθ' ἧς ἐ δακτύλῳ αὐτοῦ, ἡμῖν καθυπέδειξας, ἔπαρον ὑπὸρ ἡμῶν πρὸς αὐτὸν Βαπτιςά, ὡς παῤῥησίαν ἔχων πολλήν. καὶ γὰρ μείζων τῆς Προφητῶν ἁπάντων, ὑπ' αὐτῦ μεμαρτύρησαι. Τὰς ὀφθαλμάς σε πάλιν δὲ, τὰς τὸ παράγιον Πνεῦμα κατιδόντας, ὡς ἐμ εἴδει Περιςερᾶς κατελθὸν, ἀπαπέτασον πρὸς αὐτὸν Βαπτιςά, ἵλεων ἡμῖν ἀπεργασάμενος. Καὶ δεῦρο σῆθι μεθ' ἡμῶν, ἐπισφραγίζων τὸν ὕμνον, ἐ προεξάρχων τῆς παμηγύρεως:

Κεφ. β'. 10.

Προκείμενον, ἦχος, γ'.

Κ Ύριος φωτισμός με ἐ Σωτήρ με.

Ν. Κ Ύριος ὑπόϑραος τῆς ζωῆς με.

Προφητείας Ἡσαΐε τὸ Ἀγάλμωσμε.

Ψ Ἀδε λέγει Κύριος. καιρῷ δεκτῷ ἐπήκεσά σε, ἐ ἐμ ἡμέρᾳ σωτηρίας ἐβοήϑησά σοι, ἐ ἔπλασά σε, Ϛ ἔδωκά σε, καὶ ἔϑηκά σε εἰς διαϑήκλω Ἐϑνῶν, τῦ κατας ῆσαι τὴν γῆν, καὶ κατακληρομῆσαι κληρομίας ἐρήμε. Λέγομτα τοῖς ἐμ δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐμ τῷ σκότει ἀμακαλύπτεσθε. ἐμ πασαις ταῖς ὁδοῖς βοσκηθήσομται, Ϛ ἐμ πάσαις ταῖς τρίβοις ἡ μομὴ αὐτῶν. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτὸς ὁ καύσων, οὐδὲ ὁ Ἥλιος. ἀλλ' ὁ ἐλεῶν αὐτὸς παρακαλέσει αὐτὸς, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτός. Καὶ θήσω πᾶν Ὄρος εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδὸ ἄτοι πόῤῥωϑεν ἥξουσιν. ἄτοι ἀπὸ Βορρᾶ ἐ Θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Πέρσῶν. Εὐφρανϑήτωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. ῥηξάτω τὰ ὄρη ἀῤῥοσωίλω, καὶ οἱ βουνοὶ δικαιοσωίλω. ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτῦ, καὶ τὰς ταπεινὰς τῦ λαῦ αὐτῦ παρεκάλεσε. Εἶπε δὲ Σιών. ἐγκατέλιπέ με Κύριος, ἐ ὁ Κύριος ἐπελάθετό με. Μὴ ἐπιλήσεται γυνὴ τῦ παιδίε αὐτῆς, ἢ τῦ μὴ ἐλεῆσαι τὰ ἔγγομα τῆς κοιλίας αὐτῆς; εἰδὲ ἐ ταῦτα ἐπιλάϑοιτο γυνὴ, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος Παντοκράτωρ:

Κεφ. μϑ'. 8.

Πρὸς Τίτον Ἐπιςολῆς Παύλε τὸ Ἀγάλμωσμα.

Ψ Ἐκμου Τίτε. ἐπεφάνη ἡ χάρις τῦ Θεῦ, ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Παιδάυσα ἡμᾶς, ἵνα ἀρνησάμενοι τὴν ἀσέβειαν, ἐ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ ἀσεβῶς ζήσωμεν ἐμ τῷ νῦν αἰῶνι. Προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, ἐ ἐπιφάνειαν τῆς δόξης τῦ μεγάλε Θεῦ καὶ Σωτῆρος ἡμῶν Ἰησῦ Χριςῦ. Ὃς ἔδωκεν ἑαυτὸν ὑπὸρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων. Ὅτε δὲ ἡ χρηςότης ἐ ἡ φιλανθρωπία ἐπεφάνη τῦ Σωτῆρος ἡμῶν Θεῦ, Οὐκ ἐξ ἔργων τῶν ἐν δικαιοσυνῇ, ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ κατὰ τὸν αὐτῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ λουτρῦ παλιγγενεσίας, ἐ ἀνακαινώσεως Πνεύματος Ἁγίε. Οὗ ἐξέχεεν ἐφ' ἡμᾶς πλουσίως, διὰ Ἰησῦ Χριςῦ τῦ Σωτῆρος ἡμῶν. Ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι, κληρονόμοι γενώμεθα κατ' ἐλπίδα ζωῆς αἰωνίε:

Κεφ. γ'. 4.

Εὐαγγέλιον κ Ἀνακ.

Ἐ μ ἔτει πεντεκαιδεκάτῳ.

Καὶ ἀϑύς.

Μὴ δὴ παραδώῃς ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σε τὸ Ἅγιον.

Τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Κοντάκιον. Ἐ μ τοῖς ῥείθροις σήμερον. Κύριε ἐλέησον, μ'.

Καὶ ἡ Εὐχή.

Ὁ ἐμ παντὶ καιρῷ. Τὸ, Κύριε ἐλέησον, γ'.

Δόξα, καὶ νῦν.

Τὴν τιμιωτέραν. Ἐ μ ὀνόματι Κυρίου εὐλόγησον Πάτερ. Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, ἐ εὐλογήσαι ἡμᾶς.

Καὶ ἡ Εὐχή.

Δ Ἔσοτα Κύριε Ἰησῦ Χριςὲ ὁ Θεὸς ἡμῶν, ὁ μακροθυμήσας ἐπὶ τοῖς ἡμῶν πλημμελήμασι, ἐ ἄχρι τῆς παρούσης ὥρας ἀγαγὼν ἡμᾶς, ἐμ ᾗ ἐπὶ τῷ ζωοποιῷ Ξύλῳ κρεμάμενος, τῷ μετανοήσαντι λῃςῇ, τὴν εἰς τὸν Παράδεισον ὠδοποίησας εἴσοδον, ἐ θανάτῳ τὸν θάνατον ὤλεσας, ἐλάϑητι καὶ ἡμῖν τοῖς ταπεινοῖς, ἐ ἁμαρτωλοῖς, ἐ ἀναξίοις δούλοις σε. ἡμάρτομεν γὰρ ἐ ἠνομήσαμεν,

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

καὶ ὐκ ἐσμὲν ἄξιοι ἆραι τὰ ὄμματα, ϛ βλέψαι εἰς τὸ ὕψος τῦ Οὐραμῦ. Διότι κατελίπομεν τὴν ὁδὸν τῆς δικαιοσύνης σε, ϛ ἐπορεύθημεν ἐν τοῖς θελήμασι τῆς καρδιῶν ἡμῶν. Ἀλλ' ἱκετεύομεν τὴν σὴν ἀγαθότητα, φεῖσαι ἡμῶν Κύριε κτ' τὸ πλῆθος τῆς ἐλέους σε, ϛ σῶσον ἡμᾶς διὰ τὸ ὄμομά σε τὸ Ἅγιον. ὅτι ἐξέλιπον ἐν ματαιότητι αἱ ἡμέραι ἡμῶν. Ἐξελῦ ἡμᾶς τῆς τῦ αὐτικειμένυ χειρὸς, ϛ ἄφὼ ἡμῖν τὰ ἁμαρτήματα, ϛ μέκρωσον τὸ σαρκικὸν ἡμῶν φρόνημα. Ἵνα τὸν παλαιὸν ἡμῶν ἄνθρωπον ἀποθέμενοι, τὸν νέον ἐνδυσώμεθα, Ϛ συζήσωμεν τῷ ἡμετέρῳ Δεσπότῃ ϛ Εὐεργέτῃ. Καὶ ὅτω τοῖς σοῖς ἐξακολουθοῦντὼ προσάγμασιν, εἰς τὴν αἰώνιον αὐάπαυσιν καταπήσωμεν, ὅθα πάντων ὄντων ἀφραινομένων ἡ κατοικία. Σὺ γὰρ εἶ ἡ ὄντως ἀληθινὴ εὐφροσύνη, αὐάπαυσις Ϛ ἀγαλλίασις τῶν ἀγαπώντων σε Χριστὲ ὁ Θεὸς ἡμῶν. καὶ σοὶ τὴν δόξαν αὐαπέμπομεν, σὺν τῷ ἀναρχῳ σε Πατρὶ, Ϛ τῷ παναγίῳ ϛ ἀγαθῷ, Ϛ ζωοποιῷσε Πνεύματι, νῦν ϛ ἀεὶ, ϛ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Εἶτα ψάλλομεν τὰ Τυπικὰ χύμα.

Εὐλόγει ἡ ψυχή μυ τὸν Κύριον, ϛ πάντα τὰ ἐντός μυ τὸ ὄνομα τὸ ἅγιον αὐτῦ.
Δόξα τῷ Πατρὶ, Ϛ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι.
Αἶνει ἡ ψυχή μου τὸν Κύριον, αἰνέσω Κύριον ἐν τῇ ζωῇ μυ.
Καὶ νῦν.
Ὁ μονογενὴς Υἱὸς, ϛ Λόγος τῦ Θεῦ.
Ἐν τῇ Βασιλείᾳ σε, μνήσθητι ἡμῶν Κύριε.
Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι.
Μακάριοι οἱ πενθοῦντες.
Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοί.
Μακάριοι οἱ πεινῶντες ϛ διψῶντες.
Μακάριοι οἱ ἐλεήμονες, ὅτι αὐτοί.
Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ.
Μακάριοι οἱ εἰρηνοποιοὶ, ὅτι αὐτοί.
Μακάριοι οἱ δεδιωγμένοι.
Μακάριοι ἐστὲ, ὅταν ὀνειδίσωσιν ὑμᾶς.
Χαίρετε, ϛ ἀγαλλιᾶσθε.
Δόξα, καὶ νῦν.
Μνήσθητι ἡμῶν Κύριε, ὅταν ἔλθῃς.
Μνήσθητι ἡμῶν Δέσποτα, ὅταν ἔλθῃς.
Μνήσθητι ἡμῶν Ἅγιε, ὅταν ἔλθῃς.

Χορὸς ὁ ἐπουράνιος ὑμνεῖσε καὶ λέγε. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ Οὐρανὸς, ϛ ἡ γῆ τῆς δόξης σε.
Πρόσελθετε πρὸς αὐτὸν, καὶ φωτίσθητε.
Χορὸς ὁ ἐπουράνιος ὑμνῶσε καὶ λέγε. Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος.
Δόξα.
Χορὸς Ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, μετὰ πασῶν τῶν ἐπουρανίων Δυνάμεων, ὑμνῶσε Ϛ λέγε. Ἅγιος, Ἅγιος, Ἅγιος, Κύριος Σαβαὼθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σε.
Καὶ νῦν.
Πιστεύω εἰς ἕνα Θεόν.
Νάι, ἄφὼ, συγχώρησον ὁ Θεὸς τὰ παραπτώματα ἡμῶν, τὰ ἑκούσια Ϛ τὰ ἀκούσια. τὰ ἐν ἔργῳ Ϛ λόγῳ, τὰ ἐν γνώσει Ϛ ἀγνοίᾳ, τὰ ἐν νυκτὶ Ϛ ἡμέρᾳ, τὰ ἐν παραβάσει ϛ παρακοῇ, τὰ κατὰ νοῦν Ϛ διανοιαν. τὰ πάντα συγχώρησον ἡμῖν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.
Πάτερ ἡμῶν. Ὅτι σῦ ἐστὶν ἡ Βασιλεία.
Τὸ Κοντάκ. Ἐν τοῖς ῥείθροις σήμερον.
Ἑκτενὴ, καὶ Ἀπόλυσις.
Μετὰ δὲ τὴν Ἀπόλυσιν, ἀπέρχόμεθα ἐν τοῖς κελλίοις ἡμῶν, προσευχῇ ϛ ἁγιάσει σχολάζοντες, ἕως τῆς ὥρας τῦ Λυχνικῦ.
Ἐὰν δὲ ὥραν, ἤ. σημαίνει τὸ μέγα. καὶ συναγόμεθα ἐν τῇ Ἐκκλησίᾳ, προδιρεπιθέντος τῦ Γέροντος τῦ Διακόνυ, ἀπέρχόμεθα. Καὶ ποιήσαντος τὴν Εὐλόγησιν, ἤγουν, Εὐλογημένη ἡ Βασιλεία τῦ Πατρὸς, ϛ τῦ Υἱῦ, ϛ τῦ Ἁγίυ Πνεύματος. ψάλλομεν τὸν Προοιμιακὸν Ψαλμόν. μεθ' ὃν γίνεται Συναπτὴ μεγάλη παρὰ τῦ Διακόνυ, ἢ παρὰ τῦ Γέροντος. Ϛ μετὰ τὴν Συναπτὴν, ψάλλομεν τὸ, Κύριε ἐκέκραξα, εἰς ἦχον β'. Καὶ θυμιᾷ ὁ Γέρων, ὡς ἔθος, ἢ ὁ Διάκονος. ἐφ' ᾧ δὲ στίχος, ἤ. καὶ ψάλλομεν τὸν δ'. ὃν τρόπον. Τὸν φωτισμὸν ἡμῶν. Τῶ Λυσιτελῦς ἡμῶν. Τὰ Γορδιακὰ ῥεθέντα. Σῶσόν με ὑψόμενος. ποιοῦντες τὰ τέσσαρα, ὡσαύτως. Ψαλλομένων δὲ τούτων, ἀπέρχεται ὁ Γέρων μετὰ τῦ Διακόνυ, καὶ ποιεῖ τὴν Προσκομιδήν. Δόξα, καὶ νῦν, ἦχος, β'.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Τ'πέκλιτας κεφαλ. Εἴσοδος μετ' τὸ Εὐαγγελίου. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, Ϛ τὰ Ἀναγνώσματα τ' Ἑορτῆς, κατὰ τὴν τάξιν αὐτῶν, ὡσαύτως καὶ τὰ τροπάρια τῆς Προφητειῶν, εἰς τὸν καιρὸν αὐτῶν μετὰ τῆς στίχων. Μετὰ δὲ τὴν συμπλήρωσιν τῆς Ἀναγνωσμάτων, γίνεται Σωαπτὴ μικρά. καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν τὸν Τρισάγιον ὕμνον. Εἶτα Προκείμενον, ἦχος, γ'. Κύριος φωτισμός μου καὶ Σωτήρ μου. ᾧ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Ὁ Ἀπόστολος, πρὸς Κορινθίους. Ἀδελφοὶ, ἐλάθφρος ὢν ἐκ πάντων. Ἀλληλουάριον, ἦχ, γ'. Ἐξηράνθη ἡ καρδία μου. ᾧ. Ὡραῖος κάλλει παρὰ τοὺς Τοὺς τῆς ἀνθρώπων. Εὐαγγέλιον κατὰ Λουκᾶν. Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας. ἐκαθέξης ἡ θεία Λειτουργία τῶν μεγάλων Βασιλείου. Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον. Μετὰ δὲ τὸν Ὀπισθάμβωνον Εὐχὴν, ἔξφχόμεθα πάντες ἐν τῇ Κολυμβήθρᾳ, προπορευομένου τῶν Ἱερέως μετὰ λαμπάδων, καὶ θυμιατῶν. ἡμεῖς δὲ ψάλλομεν τὰ παρόντα Ἰδιόμελα, ἦχ β'. ἦχος, πλ. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων, βοᾷ λέγουσα. Σύμφορον τῶν ὑδάτων. Ὡς ἄνθρωπος ἐν ποταμῷ. Δεῦρο, καὶ μεῖς. ἦχος, ὁ αὐτός. Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῷ ὄρει. καὶ τὰ Ἀναγνώσματα. τὸ α'. Προφητείας Ἡσαΐου. Τάδε λέγει Κύριος. εὐφράνθητι ἔρημος. τὸ β'. Προφητείας Ἡσαΐου. Τάδε λέγει Κύριος. οἱ διψῶντες, πορεύεσθε. τὸ γ'. Προφητείας Ἡσαΐου. Τάδε λέγει Κύριος, αὐτλήσατε ὕδωρ μετ' εὐφροσύνης. Καὶ ἄνθρωπος τὸ Προκείμενον, Κύριος φωτισμός μου, καὶ Σωτήρ μου. ᾧ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. ὁ Ἀπόστολος, πρὸς Κορινθίους. Ἀδελφοὶ, οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ Πατέρες. Ἀλληλουάριον, ἦχ, δ'. Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων. Εὐαγγέλιον, κατὰ Μάρκον. Τῷ καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας. Καὶ λεγομένου, δίδονται κηρία τοῖς Ἀδελφοῖς. Ὁ δὲ Ἱερεὺς λέγει τὸ, Εἰρήνη τῶν Κυρίου δεηθῶμεν. καὶ τὰ ἑξῆς. Καὶ μετὰ τὴν συμπλήρωσιν τούτων, λέγει ὁ Ἱερεὺς τὴν Εὐχὴν μυστικῶς. Τὰ Κυρίε δεηθῶμεν. Κύριε Ἰησοῦ Χριστὲ ὁ Μονογενὴς Υἱός. Εἶτα λέγει μεγαλοφώνως. Τριὰς ὑπερούσιε. Ϛ Μέγας εἶ Κύριε, Ϛ θαυμαστὰ τὰ ἔργα σου. Καὶ μετὰ τὴν συμπλήρωσιν τῆς Εὐχῆς, ὁ Ἱερεὺς λέγει. Εἰρήνη πᾶσι. Τὰς κεφαλὰς ὑμῶν. Καὶ ἡ Εὐχὴ μυστικῶς. Κλῖνον Κύριε τὸ οὖς σου. Καὶ Ἐκφώνησις. Σὺ γὰρ εἶ ὁ ἁγιασμὸς ἡμῶν. Καὶ δόξα, δοξολογῶ τὰ ὕδατα σταυροειδῶς μετὰ τῆς τιμίου Σταυροῦ, ὀρθὸν αὐτὸν κατάγων ἐν τῷ ὕδατι, Ϛ ἐπιφθέγγεται τὸ τροπάριον εἰς ἦχον, α'. Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε, ἐκ γ'. Καὶ πάντων ἁγιαζομένων, ἐκ τῆς τοῦ ὕδατος χαρᾶς, ψάλλεται τὸ, Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε. Καὶ εἰσελθόντων ἐν τῷ Ναῷ, δοξάζομεν, καὶ ψάλλομεν Ἰδιόμελ. ἦχ, πλ. β'. Ἀναμνήσωμεν οἱ πιστοί. Εἶτα, ὁ Ψαλμός. Εὐλογήσω τὸν Κύριον. καὶ δίδοται τὸ κατακλαστὸν, Ϛ γίνεται τελεία Ἀπόλυσις. Εἶθ' ἅπαξ ψάλλομεν τὸ Κοντάκιον τῆς Ἑορτῆς. Ἐπεφάνης σήμερον. Καὶ πολυχρονίζομεν τὸν Προεστῶτα, καὶ εἰσφχόμεθα εἰς τὸ τράπεζαν. τυρὸν δὲ, ἢ ἰχθύας οὐκ ἐσθίομεν, εἰμὴ ἔλαιον. πίνομεν δὲ καὶ οἶνον, εὐχαριστοῦντες Χριστὸν τὸν Θεὸν ἡμῶν.

Εἰ δὲ ἐν Σαββάτῳ, ἢ Κυριακῇ φθάσῃ λαχεῖν ἡ Παραμονὴ, τελεῖται Λειτουργία συνήθως τῶν Χρυσοστόμου. Λέγεται δὲ ἐν ταύτῃ τῇ Λειτουργίᾳ, ὁ Ἀπόστολος πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε. οἱ καλῶς διακονήσαντες. Ζήτει εἰς τὸ Σάββατον, Σαββάτῳ, λδ'. ἦ Σάββατον πρωΐ τῶν Φώτων. Εὐαγγέλιον κατὰ Ματθαῖον. Τῷ καιρῷ ἐκείνῳ, παραγίνεται Ἰωάννης ὁ Βαπτιστὴς. Ζήτει εἰς τὸ Μηνολόγιον. Εἰ δὲ τύχῃ Κυριακὴ, λέγεται ὁ Ἀπόστολος πρὸς Τιμόθεον. Τέκνον Τιμόθεε. ὡς ἐν πᾶσι. Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μάρκον. Ἀρχὴ τοῦ Εὐαγγελίου Ἰησοῦ Χριστοῦ. Μετὰ δὲ τὴν Ἀπόλυσιν τ' Λειτουργίας, ὃ ποιοῦμεν τράπεζαν, τὴν ἐν τῷ ναῷ καθεζόντων, ἐπιδίδονται ἐκ τῆς τῶν Κελλαρίτου αὐτὰ κλωσμένα ἐν μετρίᾳ ὀλίγων ἰχθύδων, ἐφ' οἷς κατὰ τὸν ἐνιαυτὸν ποτηρίου οἴνου. Εἰδ' ὅπως ἐπιδῶσι

Ἱερομ. Γεννάριος Δημοσία Κεντρική Βιβλιοθήκη Βέροιας

τὸν ἐν τοῖς κελλίοις ἡμῶν, διάζομεν μέχρι τῆς Ἑσπερινῆς.

Περὶ δὲ ὥρας, ἵ. ἀρχόμεθα τῆς Λυχνικῆς. ἐπὶ δὲ καὶ τύχῃ ἡ Παραμονὴ ἐν Σαββάτῳ, ψάλλεται τὸ πρῶτον Κάθισμα ὅλον. ἐὰν δὲ ἐν Κυριακῇ, τὸ πρῶτον Ἀναστάσιμον. ἐὰν δὲ ἐν ἄλλῃ ἡμέρᾳ, πλὴν ἐὰν γίνηται. Εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἵδε τὴν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ πάντα τῆς Ἑορτῆς. Ἴστωμεν δὲ, ὅτι ἡ. καὶ ψάλλομεν τοὺς δ. Δυτόφους, ποιοῦντες τὰ δ. ἡ. Δόξα, καὶ νῦν, ἦχ, ὁ αὐτός. Ὑπακοὴ καθ' ἑαυτὴν τῷ Προδρόμῳ. Εἴσοδος μετὰ τὸ Εὐαγγέλιον. Φῶς ἱλαρόν. τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς Ἑορτῆς, κατὰ τὴν τάξιν αὐτῶν, μετὰ τὴν Προπαρσίων, καὶ τὴν στίχων, καθὼς γέγραπται. Μετὰ δὲ τὴν συμπλήρωσιν τῶν Προφητειῶν, αὖθις τὸ Προκείμενον τοῦ Ἀποστόλου. Κύριος φωτισμός μου καὶ Σωτήρ μου. ἡ. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου. Οὐδὲ γὰρ λέγεται Τρισάγιον. Εἶτα ὁ Ἀπόστολος, πρὸς Κορινθίους. Ἀδελφοί, ἐλάθοφος ὢν ἐκ παίτων. Ἀλληλουϊάριον. Ἐξηράνθη ἡ καρδία μου λόγον ἀγαθόν. ἡ. Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Εὐαγγέλιον τῆς Ἑορτῆς, ἐκ τοῦ κατὰ Λουκᾶν. Ἐμπέτα πεντεκαιδεκάτῳ. Εἶθ' ὅτως Ἐκτενή. αἱ σωνήθεις αἰτήσεις, καὶ μετὰ τὴν Ἐκφώνησιν, ψάλλομεν ἡμῶν ἐν τῷ Νάρθηκι, γίνεται ὁ Ἁγιασμὸς ἀπαραλλάκτως, ὡς προδεδήλωται. Εἶτα εἰσερχόμενοι ἐν τῷ Ναῷ ψάλλομεν καὶ τὸ προγραφὲν Ἰδιόμελον. Ἀναμιμνησκόμεθα οἱ πιστοί. Γίνεται πατὰ τὸ Τρίφδιον Ἐκτενή, καὶ Ἀπόλυσις. Τὸ δὲ Εὐλογήσω τὸν Κύριον, ὃ λέγομεν, διὰ τὸ προλελεχθῆναι ἐν τῇ Λειτουργίᾳ. Μετὰ δὲ τὴν Ἀπόλυσιν, ἅτε Λειτουργία γινομένη, ἅτε δὴ, ἅπαντα μανθάνια ἐν μέσῳ τοῦ Ναοῦ, τοιχιδὸν οἱ Ἀδελφοὶ ψάλλουσι τὸν τῆς Ἑορτῆς Ἀπολυτίκιον, καὶ τὸ Κοντάκιον. Ἔπειτα, ἵστανται τὰ διάκονα ἐπὶ τὸ μέσον, ἢ ὁ Διάκονος μαγνικὸς, καὶ μετὰ τὸ Κοντάκιον, φωνίζει τοὺς Βασιλέας, καὶ τὸν Ἀρχιερέα τῆς Ἐπαρχίας τοῦ Μητροπολίτου εἰς δὲ τὴν Προσευχὴν λέγει.

Σῶσαι ὁ Θεὸς τὸν πανοσιώτατον Πατέρα ἡμῶν καὶ Καθηγούμενον, σὺν πάσῃ τῇ ἐν Χριστῷ ἡμῶν ἀδελφότητι.

Ἐκ τρίτου.

Καὶ ὅτως πληροῦται ὁ Πολυχρονισμός. καὶ εἰσερχόμεθα εἰς τὴν τράπεζαν, τυρὸν, ἢ ὠὸν ἐκ ἐσθίοντες, εἰμὴ ἔλαιον Σ οἶνον. καὶ εἰ δόξει τῷ Προεστῶτι, μεταλαμβάνομεν καὶ ἰχθύος, δοξάζοντες τὸν Θεόν.

Ἑστέον, ὅτι ἐὰν τύχῃ ἡ Παραμονὴ ἐν Σαββάτῳ ἢ Κυριακῇ, ἡ Λειτουργία τοῦ Χρυσοστόμου τελεῖται, ὡς ἔρηται, εἰς τὴν ὥραν αὐτῆς. ἡ δὲ τῶν μεγάλων Βασιλέων τελεῖται τῇ ἑπαύριον, ἤτοι κατ' αὐτὴν τὴν ἡμέραν τῆς Ἑορτῆς.

Τῷ αὐτῷ Μηνὶ, ς'. Τὰ Ἅγια Θεοφάνεια τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

Ἑσπέρας, εἰς τὸ, Κύριε ἐκέκραξα, ἱστῶμεν ἡ. ἡ. Σ ψάλλομεν, ἢ. Ἰδιόμ. ἦχ, β'.

Γωάμνα Μοναχοῦ.

Ὁ μὲν φωτισμὸν ἡμῶν, τὸν φωτίσαντα πάντα ἄνθρωπον, ἰδὼν ὁ Πρόδρομος, βαπτισθῆναι παραγενόμενον, χαίρει τῇ ψυχῇ, Σ ῥέμα τῇ χειρί. δείκνυσιν αὐτὸν, καὶ λέγει τοῖς λαοῖς. ἴδε ὁ λυτρούμενος τὸν Ἰσραὴλ, ὁ ἐλάθοφῶν ἡμᾶς ἐκ τῆς φθορᾶς. ὦ ἁμαρτήτε, Χριστὸς ὁ Θεὸς ἡμῶν δόξασοι. Δίς.

Οὗ Λυτρωτῆ ἡμῶν, ὑπὸ δούλου βαπτιζομένου, ἐν τῇ τοῦ Πνεύματος παρουσίᾳ μαρτυρουμένου, ἔφριξαν ὁρῶσαι Ἀγγέλων Στρατιαί. φωνὴ δὲ Οὐρανόθεν ἐξέχθη ἐκ Πατρός. οὗτος ὃν ὁ Πρόδρομος χειροθετεῖ, Υἱός μου ὑπάρχει ὁ ἀγαπητὸς, ἐν ᾧ ἠυδόκησα. Χριστὸς ὁ Θεὸς ἡμῶν δόξασοι.

Δίς.

Ἡ Γορδαΐα ῥεῖθρα, σὲ τὴν πηγὴν ἐδέξαντο, καὶ ὁ Παράκλητος, ἐν εἴδει περιστερᾶς κατήρχετο. κλίμει κορυφὴν, ὁ κλίνας Οὐρανούς. κράζει καὶ βοᾷ, πηλὸς τῷ πλαστουργῷ. τί μοι ἐπιτάττεις τὰ ὑπὲρ ἐμέ; ἐγὼ χρείαν ἔχω τοῦ σοῦ βαπτίσματος. ὦ ἁμαρτήτε, Χριστὸς ὁ Θεὸς ἡμῶν δόξασοι.

Δίς.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

Ὦσαι βουλόμενος, τὸν πλανηθέντα ἄνθρωπον, ὃν ἀπεξώσας δούλου μορφὴν ἐνδύσασθαι. ἔπρεπε γὰρ σοὶ τῇ Δεσποτικῇ καὶ Θεῷ, ἀναδέξασθαι τὰ ἡμῶν, ὑπὲρ ἡμῶν. σὺ γὰρ βαστισθεὶς σαρκὶ Λυτρωτὰ, τῆς ἀφέσεως ἠξίωσας ἡμᾶς. διὸ βοῶμέν σοι. Εὐδόγητα Χριστὲ ὁ Θεὸς ἡμῶν, δόξα σοι.

Δίς.

Δόξα, ἐμοῦ, ὁ αὐτός.

Βύζαντος.

Πέκλιγας καφαν τῷ Προδρόμῳ, σωέθλασας καφας τῆν δρακόντων, ἐπέσης ἐν τοῖς ῥείθροις, ἐφώτισας τὰ σύμπαντα, τῇ δοξάζουσε Σωτὴρ, τὸν φωτισμὸν τῆς ψυχῶν ἡμῶν.

Εἴσοδος. τὸ, Φῶς ἱλαρόν. Εἶτα, τὰ Ἀναγνώσματα.

Κεφ. ε'. 15.

Γενέσεως τὸ Ἀνάγνωσμα, α.

Κεφ. α. 1.

Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπέκειτο ἐπάνω τῆς ἀβύσσου. Καὶ Πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός. γενηθήτω φῶς, καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλόν. Καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς, καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς, ἡμέραν, καὶ τὸ σκότος ἐκάλεσε νύκτα. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός. γενηθήτω Στερέωμα ἐν μέσῳ τοῦ ὕδατος, καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ Στερέωμα. καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑπὸ κάτω τοῦ Στερεώματος, καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ Στερεώματος. καὶ ἐγένετο οὕτως. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ Στερέωμα, Οὐρανόν. καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός. συναχθήτω τὸ ὕδωρ τὸ ὑπὸ κάτω τοῦ Οὐρανοῦ, εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑπὸ κάτω τοῦ Οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν, γῆν, καὶ τὰ συστήματα τῶν ὑδάτων, ἐκάλεσε Θαλάσσας. καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός. βλαστησάτω ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον καρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς, καὶ ξύλον καρπιμον ποιοῦν καρπὸν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ, κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ εἶδεν ὁ Θεὸς, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα, καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα, β'.

Εἶπε Κύριος πρὸς Μωσῆν, τί βοᾷς πρός με; λάλησον τοῖς Υἱοῖς Ἰσραὴλ καὶ ἀναζευξάτωσαν. Καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου, καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν Θάλασσαν, καὶ ῥῆξον αὐτὴν, καὶ εἰσελθέτωσαν οἱ Υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς Θαλάσσης κατὰ τὸ ξηρόν. Καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ, καὶ τὴν Ἀθραπόντων αὐτοῦ, καὶ τὴν Αἰγυπτίων παντὸς, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν, καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ, καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. Καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ, καὶ ἐν τοῖς ἅρμασι, καὶ ἐν τοῖς ἵπποις αὐτοῦ. Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν Θάλασσαν, καὶ ἐπήγαγε Κύριος τὸν Θάλασσαν ἐν ἀνέμῳ Νότῳ βιαίῳ ὅλην τὴν νύκτα, καὶ ἐποίησε τὴν Θάλασσαν ξηράν, καὶ διεχίσθη τὸ ὕδωρ. Καὶ εἰσῆλθον οἱ Υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς Θαλάσσης κατὰ τὸ ξηρόν. καὶ τὸ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ ἀριστερῶν. Κατεδίωξαν δὲ οἱ Αἰγύπτιοι, καὶ εἰσῆλθον ὀπίσω αὐτῶν πᾶσα ἵππος Φαραὼ, καὶ τὰ ἅρματα, καὶ οἱ ἀναβάται εἰς μέσον τῆς Θαλάσσης. Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα ἐπὶ τὴν Θάλασσαν, καὶ ἀπεκατεστάθη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας. οἱ δὲ Αἰγύπτιοι ἔφυγον ἐπὶ τὸ ὕδωρ, καὶ ἐξετίναξε Κύριος τοὺς Αἰγυπτίους εἰς μέσον τῆς Θαλάσσης. Καὶ ἐπαναστρέψαν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα, καὶ τοὺς ἀναβάτας, καὶ πᾶσαν τὴν δύναμιν Φα-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροι

ραω, εἰς τὲς διαπορευομένους ὀπίσω αὐτῶν ἐπὶ τὴν Θάλασσαν· ὃ κατελείφθη ἐξ αὐτῶν ὧδε εἷς. Οἱ δὲ Υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς Θαλάσσης.

Τῆς Ἐξόδε τὸ Ἀναγνωσμα, γ'.

Κεφ. ιδ. 22. Ἦρε Μωϋσῆς τὲς Υἱὲς Ἰσραὴλ, ἀπὸ Θαλάσσης ἐρυθρᾶς, καὶ ἤγαγεν αὐτὲς εἰς τὴν ἔρημον Σὺρ. καὶ ἐπορεύοντο ἡμέρας ἐν τῇ ἐρήμῳ, καὶ οὐχ εὑρισκον ὕδωρ ὥστε πιεῖν. Ἦλθον δὲ εἰς Μερρᾶ, καὶ οὐκ ἠδυνάντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς, πικρὸν γὰρ ἦν, διὰ τῦτο ἐπωνομάσθη τὸ ὄνομα τῦ τόπου ἐκείνου Πικρία. Καὶ διεγόγγυζεν ὁ λαὸς κατὰ Μωϋσῆ, λέγοντες· τί πιώμεθα; Ἐβόησε δὲ Μωϋσῆς πρὸς Κύριον, καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐμέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη. ἐκεῖ ἔθετο αὐτῷ ὁ Θεὸς δικαιώματα καὶ κρίσεις, καὶ ἐκεῖ αὐτὸν ἐπείρασε, καὶ εἶπεν. Ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τῦ Θεῦ σου, καὶ τὰ ἀρεστὰ ἐνώπιον αὐτῦ ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτῦ, καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτῦ, πᾶσαν νόσον οὐ ἐπάξω ἐπὶ σέ. ἐγὼ γάρ εἰμι Κύριος ὁ ἰώμενός σε. Καὶ ἦλθον εἰς Ἐλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων, καὶ ἑβδομήκοντα φοινίκων. παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα. Κεφ. ιε'. 1. Ἀπῆραν δὲ ἐξ Ἐλείμ, καὶ ἦλθε πᾶσα ἡ Συναγωγὴ Υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ἥ ἐστιν ἀνὰ μέσον Ἐλείμ, καὶ ἀνὰ μέσον Σινᾶ.

Τροπάριον, ἦχος, πλ. α'.

Πεφανέν ἐν τῷ Κόσμῳ, ὁ τὸν Κόσμον ποιήσας, ἵνα φωτίσῃς τὲς ἐν σκότει καθημένους, φιλάνθρωπε δόξα σοι.

Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς, καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.

Ἵνα φωτίσῃς τὲς ἐν σκότει καθημένους, φιλάνθρωπε δόξα σοι.

Ἐν ἀρχῇ ἐν τῇ γῇ τὸν οὐρανὸν, ἐν πᾶσιν Ἔθνεσι τὸ σωτήριόν σου.

Ἵνα φωτίσῃς τὲς ἐν σκότει καθημένους, φιλάνθρωπε δόξα σοι.

Ε'. Ἐξομολογησάσθωσάν σοι λαοὶ ὁ Θεὸς, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. γῆ ἔδωκε τὸν καρπὸν αὐτῆς.

Ἵνα με φωτίσῃς τὲς ἐν σκότει καθημένους, φιλάνθρωπε δόξα σοι.

Ε'. Εὐλογήσαι ἡμᾶς ὁ Θεὸς, ὁ Θεὸς ἡμῶν, εὐλογήσαι ἡμᾶς ὁ Θεός. Φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς.

Ἵνα φωτίσῃς τὲς ἐν σκότει καθημένους, φιλάνθρωπε δόξα σοι.

Δόξα, καὶ νῦν.

Ἐπεφάνης ἐν τῷ Κόσμῳ, ὁ τὸν Κόσμον ποιήσας.

Ἰησῦ τῦ Ναυῆ τὸ Ἀνάγνωσμα, δ'.

Εἶπε Κύριος πρὸς Ἰησοῦν. ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι τῦ ὑψῶσαί σε, κατενώπιον παντῶν τῶν Υἱῶν Ἰσραήλ. ἵνα γνῶσιν, ὅτι καθότι ἤμην μετὰ Μωϋσῆ, ὕτως ἔσομαι καὶ μετὰ σῦ. Καὶ νῦν σὺ ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν Κιβωτὸν τῆς Διαθήκης, λέγων. ὡς ἂν εἰσέλθητε εἰς μέρος τῦ ὕδατος τῦ Ἰορδάνε, καὶ ἐν τῷ Ἰορδάνῃ στήσεσθε. Ὡς δὲ ἐπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες τὴν Κιβωτὸν τῆς διαθήκης Κυρίου εἰς τὸν Ἰορδάνην, καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν Κιβωτὸν ἐβάφησαν εἰς μέρος τῦ ὕδατος τῦ Ἰορδάνε. ὁ δὲ Ἰορδάνης ἐπληρῦτο καθ' ὅλην τὴν κρηπῖδα αὐτῦ, ὡς ἐν ἡμέραις θερισμῦ πυρῶν. Καὶ ἔστη τὰ ὕδατα καταβαίνοντα ἄνωθεν εἰς πῆγμα ἕν, ἀφεστηκὸς μακρὰν σφόδρα ἀπὸ Ἀδὰμ τῆς πόλεως, ἕως μέρους Καριαθιαρείμ. τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν Θάλασσαν Ἀραβᾶ, μέχρι Θαλάσσης τῶν ἁλῶν, ἕως τέλους ἐξέλιπε. Καὶ ὁ λαὸς ἐστήκει ἀπέναντι Ἰερειχώ, καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν Κιβωτὸν τῆς Διαθήκης Κυρίου, ἐπὶ ξηρᾶς ἐν μέσῳ τῦ Ἰορδάνου ἕτοιμοι. καὶ πάντες οἱ Υἱοὶ Ἰσραὴλ διέβησαν διὰ ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην.

Βασιλειῶν τεταρτης τὸ Ἀνάγνωσμα, ε'.

Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ, κάθες δὴ ἐνταῦθα, ὅτι Κύριος ἀπέσταλκέ με ἕως τῦ Ἰορδάνου. Καὶ εἶπεν Ἐλισσαιέ. ζῇ Κύριος, καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε.

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

σε, Ϛ ἐπορεύθησαν ἀμφότεροι. Καὶ πεντήκοντα ἄνδρες ἀπὸ τῶν Υἱῶν τῶν Προφητῶν ἦλθον, καὶ ἔστησαν ἀπ' ἐμαντίας μακρόθεν. ἀμφότεροι δὲ ἔστησαν ἐπὶ τοῦ Ἰορδάνου. Καὶ ἔλαβεν Ἠλίας τὴν μηλωτὴν αὐτοῦ, καὶ εἴλισεν αὐτὴν, καὶ ἐπάταξεν ἐν αὐτῷ τὰ ὕδατα, καὶ διῃρέθη τὸ ὕδωρ ἐνθεν καὶ ἐνθεν, Ϛ διέβησαν ἀμφότεροι διὰ ξηρᾶς. Καὶ ἐγένετο ὡς διῆλθον, εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ. αἴτησαι, τί ποιήσω σοι πρὶν ἢ ἁρπαγῆναί με ἀπὸ σοῦ. Ϛ εἶπεν Ἐλισσαιέ. γενηθήτω δὴ τὸ Πνεῦμα τὸ ἐπὶ σοὶ, διπλοῦν ἐπ' ἐμέ. Καὶ εἶπεν Ἠλίας. ἐσκλήρυνας τοῦ αἰτήσασθαι. πλὴν ἐὰν ἴδῃς με ἁρπαζόμενον ἀπὸ σοῦ, ἔσται σοι οὕτως. ἐὰν δὲ μὴ ἴδῃς, οὐ μὴ γένηται. Καὶ ἐγένετο αὐτῶν πορευομένων καὶ λαλούντων, ἰδοὺ ἅρμα πυρὸς, καὶ ἵπποι πυρὸς, καὶ διεχώρισεν ἀνὰ μέσον ἀμφοτέρων, Ϛ ἀνελήφθη Ἠλίας ἐν συσσεισμῷ εἰς τὸν Οὐρανόν. Καὶ Ἐλισσαιὲ ἑώρα, Ϛ αὐτὸς ἐβόα. Πάτερ Πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεῖς αὐτοῦ. καὶ οὐκ εἶδεν αὐτὸν ἔτι. καὶ ἐκράτησεν Ἐλισσαιὲ τῶν ἱματίου αὐτοῦ, Ϛ διέῤῥηξεν αὐτὸ εἰς δύο. Καὶ ἀφεῖλετο τὴν μηλωτὴν Ἠλιοὺ Ἐλισσαιὲ, τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ. Καὶ ἐπέστρεψεν Ἐλισσαιὲ Ϛ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου. καὶ ἔλαβεν Ἐλισσαιὲ τὴν μηλωτὴν Ἠλιοὺ τὴν πεσοῦσαν ἐπάνωθεν αὐτοῦ, Ϛ ἐπάταξε τὰ ὕδατα Ϛ οὐ διῃρέθη. καὶ εἶπεν Ἐλισσαιέ. ποῦ ἔστιν ὁ Θεὸς Ἠλιοὺ Ἀπφώ; καὶ ἐπάταξεν Ἐλισσαιὲ τὰ ὕδατα ἐκ δεξιῶν, καὶ διῃρέθη τὰ ὕδατα, καὶ διῆλθε διὰ ξηρᾶς:

Βασιλειῶν τετάρτης τὸ Ἀναγνωσμα, ϛ'.

Κεφ. ε. 9. Ἀρξάμενος Νεεμὰν, ἄρχων Βασιλέως Ἀσσυρίων, σὺν τοῖς ἅρμασιν αὐτοῦ, καὶ ἵπποις αὐτοῦ, καὶ ἔστη ἐπὶ τῆς θύρας τοῦ οἴκου Ἐλισσαιέ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ Ἄγγελον πρὸς αὐτὸν, λέγων. πορεύθεις, λοῦσαι ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, καὶ ἐπιστρέψει ἡ σάρξ σου ἐπὶ σοὶ, καὶ καθαρισθήσῃ. Καὶ ἐθυμώθη Νεεμὰν, καὶ ἀπῆλθε, καὶ εἶπεν. ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύσεται πρός με, καὶ ἐπικαλέσεται ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ, Ϛ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸ λεπρὸν, καὶ ἀποσωσάσει αὐτὸ ἀπὸ τῆς σαρκός μου. Οὐκ ἀγαθὸς Ἀβανὰ Ϛ Φαρφὰ ποταμοὶ Δαμασκοῦ ὑπὲρ τὸν Ἰορδάνην, καὶ ὑπὲρ πάντα τὰ ὕδατα Ἰσραὴλ; οὐχὶ πορευθεὶς λοῦσομαι ἐν αὐτοῖς, καὶ καθαρισθήσομαι; καὶ ἀπέστρεψε, καὶ ἀπῆλθεν ἐν θυμῷ. καὶ προσῆλθον οἱ παῖδες, Καὶ εἶπον πρὸς αὐτόν. Πάτερ, εἰ μέγαν λόγον ἐλάλησε πρὸς σὲ ὁ Προφήτης, οὐκ ἂν ἐποίησας καθ' ὅτι εἶπε πρὸς σὲ, λοῦσαι, καὶ καθαρίσθητι. Καὶ κατέβη Νεεμὰν, καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις, κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ. καὶ ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη:

Τροπάριον, ἦχος, πλ. β'.

Ἅ Μαρτωλοῖς καὶ τελώναις, διὰ πλήθους ἐλέους σου ἐπεφάνης Σωτὴρ ἡμῶν. πῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι; εἰμὴ τοῖς ἐν σκότει καθημένοις, δόξα σοι:

Ϛ. Ὁ Κύριος ἐβασίλευσεν, ὠπρέπειαν ἐνεδύσατο. ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο. καὶ γὰρ ἐστερέωσε τὴν Οἰκουμένην, ἥτις οὐ σαλευθήσεται. ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε, ἀπὸ τοῦ αἰῶνος σὺ εἶ.

Πῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι; εἰμὴ τοῖς ἐν σκότει καθημένοις, δόξα σοι:

Ϛ. Ἐπῆραν οἱ Ποταμοὶ Κύριε, ἐπῆραν οἱ Ποταμοὶ φωνὰς αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

Πῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι; εἰμὴ τοῖς ἐν σκότει καθημένοις, δόξα σοι:

Ϛ. Θαυμαστοὶ οἱ μετεωρισμοὶ τῆς Θαλάσσης. θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος, τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα. τῷ οἴκῳ σου πρέπει ἁγίασμα Κύριε εἰς μακρότητα ἡμερῶν.

Πῦ γὰρ εἶχε τὸ φῶς σου λάμψαι; εἰμὴ τοῖς ἐν σκότει καθημένοις, δόξα σοι:

Δόξα, καὶ νῦν.

Ἁμαρτωλοῖς καὶ τελώναις.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, ζ'.

Κεφ. κϛ'. Οὕτως λέγει Κύριος. λούσασθε, Ϛ καθαροὶ γίνεσθε. ἀφέλετε τὰς πονηρίας ὑμῶν ἀπὸ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

τῆς ψυχῶν ὑμῶν, ἀπέναντι τῆς ὀφθαλμῶν μου, παύσασθε ἀπὸ τῶν πονηρῶν ὑμῶν. Μάθετε καλὸν ποιεῖν, ἐκζητήσατε κρίσιν, ῥύσασθε ἀδικούμενον, κρίνατε ὀρφανῷ, καὶ δικαιώσατε χήραν. Καὶ δεῦτε καὶ διαλεχθῶμεν, λέγει Κύριος. καὶ ἐὰν ὦσιν αἱ ἁμαρτίαι ὑμῶν ὡς φοινικοῦν, ὡς χιόνα λευκανῶ. ἐὰν δὲ ὦσιν ὡς κόκκινον, ὡς ἔριον λευκανῶ. Καὶ ἐὰν θέλητε, καὶ εἰσακούσητέ μου, τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε. ἐὰν δὲ μὴ θέλητε, μὴ δὲ εἰσακούσητέ μου, μάχαιρα ὑμᾶς κατέδεται. τὸ γὰρ στόμα Κυρίου ἐλάλησε ταῦτα.

Γενέσεως τὸ Α'μάγμωσμα, ιά.

Κεφ. λβ'. 1. Ἀναβλέψας Ἰακὼβ, εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν. καὶ σωλώτησαν αὐτῷ οἱ Ἄγγελοι τοῦ Θεοῦ. Εἶπε δὲ Ἰακὼβ, ἰδίκα εἶδεν αὐτούς. παρεμβολὴ Θεοῦ αὕτη. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Παρεμβολή. Ἀπέστειλε δὲ Ἰακὼβ Ἀγγέλους ἔμπροσθεν αὐτοῦ, πρὸς Ἡσαῦ τὸν ἀδελφὸν αὐτοῦ, εἰς γῆν Σηείρ, εἰς χώραν Ἐδώμ. Καὶ ἐνετείλατο αὐτοῖς, λέγων. οὕτως ῥεῖτε τῷ Κυρίῳ μου Ἡσαῦ. οὕτω λέγει ὁ παῖς σου Ἰακώβ. μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν. Καὶ ἐγένοντό μοι πρόβατα, καὶ βόες, καὶ ὄνοι, καὶ παῖδες, καὶ παιδίσκαι. καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου Ἡσαῦ, ἵνα εὕρω χάριν ὁ παῖς σου ἐναντίον σου. Καὶ ἀπέστρεψαν οἱ Ἄγγελοι πρὸς Ἰακὼβ, λέγοντες. ἤλθομεν πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου, καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συναντησίν σου, καὶ τετρακόσιοι ἄνδρες μετ' αὐτοῦ. Ἐφοβήθη δὲ Ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο. καὶ διεῖλε τὸν λαὸν τὸν μετ' αὐτοῦ, καὶ τοὺς βόας, καὶ τὰ πρόβατα, εἰς δύο παρεμβολάς. Καὶ εἶπεν Ἰακώβ. ἐὰν ἔλθῃ Ἡσαῦ εἰς παρεμβολὴν μίαν, καὶ κόψῃ αὐτὴν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σώζεσθαι. Καὶ εἶπεν Ἰακώβ. ὁ Θεὸς τοῦ Πατρός μου Ἀβραὰμ, καὶ ὁ Θεὸς τοῦ Πατρός μου Ἰσαάκ. Κύριε ὁ εἰπών μοι, ἀνάστρεχε εἰς τὴν γῆν τῆς γενήσεώς σου, καὶ εὖ σοι ποιήσω. Ἰκανώθω μου ἀπὸ πάσης δικαιοσύνης, καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου. ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ, διέβην τὸν Ἰορδάνην.

Κεφ. β'. 5. Κατέβη ἡ θυγάτηρ Φαραὼ, λούσασθαι ἐπὶ τὸν Ποταμόν, καὶ αἱ ἄβραι παρεπορεύοντο αὐτῆς παρὰ τὸν Ποταμόν. Ἰδοῦσα θήβιν ἐν τῷ ἕλει, ἀπέστειλασε τὴν ἄβραν, καὶ ἤραντο αὐτήν. Ἀνοίξασα δὲ, ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θήβῃ. καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραὼ, καὶ εἶπεν. ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο. Καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ. θέλεις καλέσω σοι γυναῖκα τροφοῦσαν ἐκ τῶν Ἑβραίων, καὶ θηλάσει σοι τὸ παιδίον; καὶ εἶπεν αὐτῇ ἡ θυγάτηρ Φαραώ. πορεύου. ἐλθοῦσα δὲ ἡ μεμῖς, ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου. Εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραώ. διατήρησόν μοι τὸ παιδίον τοῦτο, καὶ θήλασόν μοι αὐτό. ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον, καὶ ἐθήλαζεν αὐτό. Ἀνδρωθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραὼ, καὶ ἐγενήθη αὐτῇ εἰς Υἱόν. ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωϋσῆν, λέγουσα. ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Κριτῶν τὸ Α'μάγμωσμα, ί.

Κεφ. ς'. 36. Εἶπε Γεδεὼν πρὸς τὸν Θεόν. εἰ σώζεις ἐν τῇ χειρί μου τὸν Ἰσραὴλ, ὃν τρόπον ἐλάλησας, ἰδοὺ ἐγὼ ἀποξείδομαι τὸν πόκον τῶν ἐρίων ἐν τῇ ἅλωνι. καὶ ἐὰν γένηται δρόσος ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν ξηρασία, γνώσομαι ὅτι σώζεις ἐν τῇ χειρί μου τὸν Ἰσραὴλ, ὃν τρόπον ἐλάλησας. Καὶ ἐγένετο οὕτως. καὶ ὀρθρίσας Γεδεὼν τῇ ἐπαύριον, ἀπεπίασε τὸν πόκον, καὶ ἀπέῤῥυη δρόσος ἐκ τοῦ πόκου, πλήρης λεκάνης ὕδατος. Καὶ εἶπε Γεδεὼν πρὸς τὸν Θεόν. μὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοὶ, καὶ λαλήσω ἔτι ἅπαξ, καὶ πειράσω ἔτι ἅπαξ ἐν τῷ πόκῳ. γενηθήτω δὴ ξηρασία ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν δρόσος. Καὶ ἐποίησεν ὁ Θεὸς οὕτως ἐν τῇ νυκτὶ ἐκείνῃ. καὶ ἐγένετο ξηρασία ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν τὴν γῆν ἐγένετο δρόσος.

Βασιλειῶν τρίτης τὸ Α'μάγμωσμα, ιαί.

Κεφ. ιή. 30. Εἶπεν Ἠλίας πρὸς τὸν λαόν. προσαγάγετε

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

γετε πρός με. καὶ προσήγαγε πᾶς ὁ λαὸς πρὸς αὐτόν. Καὶ ἔλαβεν Ἠλίας δώδεκα λίθους, κ᾽ ἀριθμὸν φυλῶν δώδεκα Φυλῶν τῶ Ἰσραὴλ, ὡς ἐλάλησε Κύριος πρὸς αὐτὸν, λέγων. Ἰσραὴλ ἔσαι τὸ ὄνομά σου. Καὶ ᾠκοδόμησε τὰς λίθους ἐν ὀνόματι Κυρίου, καὶ ἰάσατο τὸ θυσιαστήριον τὸ κατεσκαμμένον. Καὶ ἐποίησε θαλὰ χωρὶς δύο μετρητὰς σπέρματος κυκλόθεν τῶ θυσιαστηρίω. Καὶ ἐπέθηκε τὰς ὀχίδακας ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησε. καὶ ἐμέλισε τὸ ὁλοκαύτωμα, καὶ ἐπέθηκεν ἐπὶ τὰς ὀχίδακας, καὶ ἐφοίβασεν ἐπὶ τὸ θυσιαστήριον. καὶ εἶπεν Ἠλίας. Λάβετέ μοι τέσσαρας ὑδρίας ὕδατος, καὶ ἐπιχέετε ἐπὶ τὸ ὁλοκαύτωμα, καὶ ἐπὶ τὰς ὀχίδακας. καὶ εἶπε, δὶς τρῶσατε. καὶ ἐδίς τρωσαν. καὶ εἶπε. τρὶς ἄσατε, καὶ ἐτρίσ ασαν. Καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τῶ θυσιαστηρίω. καὶ τὴν θαλὰ ἔπλησεν ὕδατος. Καὶ ἀνεβόησεν Ἠλίας εἰς τὸν Οὐρανὸν, καὶ εἶπε. Κύριε ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραὴλ, ἐπάκουσόν μου σήμερον ἐν πυρί. καὶ γνώτωσαν πᾶς ὁ λαὸς ὅτος, ὅτι σὺ εἶ μόνος Κύριος ὁ Θεὸς Ἰσραὴλ, καὶ ἐγὼ δοῦλος σός, καὶ διὰ σὲ πεποίηκα ταῦτα πάντα. καὶ σὺ ἐπέστρεψας τὴν καρδίαν τῶ λαῶ τούτω ὀπίσω σου. Καὶ ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τῶ Οὐρανῶ, καὶ κατέφαγε τὰ ὁλοκαυτώματα, καὶ τὰς ὀχίδακας, καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλὰ, καὶ τὰς λίθους καὶ τὸν χοῦν ἐξέλειξε τὸ πῦρ. Καὶ ἔπεσε πᾶς ὁ λαὸς ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπον. ἀληθῶς Κύριος ὁ Θεὸς, αὐτὸς ὄντως ὁ Θεός.

Κεφ. μθ'. 8.

Βασιλειῶν τεταρτὸν τὸ Ἀναγνώσμα, ιβ'.

Κεφ. β'. 19.

Ἰδοὺ οἱ ἄνδρες τῆς Πόλεως Γόβριχω πρὸς Ἐλισαιέ. Ἰδοὺ ἡ κατοίκησις τῆς Πόλεως ταύτης ἀγαθὴ, καθὼς σὺ Κύριε βλέπεις, καὶ τὰ ὕδατα πονηρὰ, καὶ ἡ γῆ ἀτεκνωμένη. Καὶ εἶπεν Ἐλισαιέ. λάβετέ μοι ὑδρίσκιον καινὸν, καὶ θέτε ἐκεῖ ἅλας. Καὶ ἔλαβον αὐτὸ, καὶ ἐξῆλθεν ἐπὶ τὴν διέξοδον τῶ ὕδατος, καὶ ἔρριψεν ἐκεῖ τὸ ἅλας, καὶ εἶπε. Τάδε λέγει Κύριος, ἴαμαι τὰ ὕδατα ταῦτα. οὐκ ἔτι ἔσαι ἐκεῖθεν, ἀποθνήσκων, οὐδὲ ἀτεκνωμένη δι᾽ αὐτά. Καὶ ἰάθη τὰ ὕδατα, ἕως τῆς ἡμέρας ταύτης, κατὰ τὸ ῥῆμα ὃ ἐλάλησεν Ἐλισαιέ.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, ιγ'.

Κεφ. θ'. 19.

Τάδε λέγει Κύριος. καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτηρίας ἐβοήθησά σοι, καὶ ἔπλασά σε, καὶ ἔδωκά σε, καὶ ἔθηκά σε εἰς διαθήκην ἔθνων, τοῦ καταστῆσαι τὴν γῆν, καὶ κατακληρονομῆσαι κληρονομίας ἐρήμους. Λέγοντα τοῖς ἐν δεσμοῖς ἐξέλθετε, καὶ τοῖς ἐν τῷ σκότει ἀνακαλύπτεσθε. ἐν πάσαις ταῖς ὁδοῖς βοσκηθήσονται, καὶ ἐν πάσαις ταῖς τρίβοις ἡ μονὴ αὐτῶν. Οὐ πεινάσουσιν, οὐδὲ διψήσουσιν, οὐδὲ πατάξει αὐτοὺς ὁ καύσων, οὐδὲ ὁ Ἥλιος. ἀλλ᾽ ὁ ἐλεῶν αὐτοὺς παρακαλέσει αὐτούς, καὶ διὰ πηγῶν ὑδάτων ἄξει αὐτούς. Καὶ θήσω πᾶν Ὄρος, εἰς ὁδὸν, καὶ πᾶσαν τρίβον εἰς βόσκημα αὐτοῖς. Ἰδοὺ ὅτοι πόρρωθεν ἥξουσιν. ὅτοι ἀπὸ Βορρᾶ καὶ Θαλάσσης, ἄλλοι δὲ ἐκ γῆς Πέρσων. Εὐφρανθήτωσαν οἱ Οὐρανοὶ, καὶ ἀγαλλιάσθω ἡ γῆ. ῥηξάτω τὰ ὄρη ἀίφροσυνίαν, καὶ οἱ βουνοὶ δικαιοσυνίαν. ὅτι ἠλέησεν ὁ Θεὸς τὸν λαὸν αὐτῶ, καὶ τοὺς ταπεινοὺς τῶ λαῶ αὐτῶ παρεκάλεσε. Εἶπε δὲ Σιών. ἐγκατέλιπέ με Κύριος, καὶ ὁ Κύριος ἐπελάθετό μου. Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς, ἢ τοῦ μὴ ἐλεῆσαι τὰ ἔγγονα τῆς κοιλίας αὐτῆς; κἂν δὲ ἐπιλάθοιτο γυνὴ, ἀλλ᾽ ἐγὼ οὐκ ἐπιλήσομαί σου, λέγει Κύριος Παντοκράτωρ.

Εἶτα Σωματικὴ μικρὰ παρὰ τῆ Γ'ρέσε. καὶ ψάλλομεν τὸν Τρισάγιον ὕμνον. καὶ ὁ Ἀπόστολος.

Προκείμενον, ἦχος, γ'.

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.

Ν. Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους, α'. Ἐπιστολὴ Παύλου.

Ἀδελφοὶ, ἐλεύθερος ὢν ἐκ πάντων, πᾶσιν ἐμαυτὸν ἐδούλωσα, ἵνα τοὺς πλείονας κερδήσω. Καὶ ἐγενόμην τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, ἵνα Ἰουδαίους κερδήσω. Τοῖς ὑπὸ νόμον, ὡς ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον κερδήσω. τοῖς ἀνόμοις ὡς ἄνομος, μὴ ὢν ἄνομος Θεῷ, ἀλλ᾽ ἔννομος Χριστῷ, ἵνα κερδήσω ἀνόμους. ἐγενόμην τοῖς ἀσθενέσιν ὡς ἀσθενὴς, ἵνα τοὺς ἀσθενεῖς κερδήσω. τοῖς πᾶσι γέγονα τὰ

Δημόσια Κεντρική Βιβλιοθήκη Βέρο

τὰ παῦτα, ἵνα παῦτως τιμὰς σώσω. Τῦτο δὲ ποιῶ διὰ τὸ Εὐαγγέλιον, ἵνα συγκοινωνὸς αὐτῦ γένωμαι. Οὐκ οἴδατε, ὅτι οἱ ἐν σταδίῳ τρέχοντες, πάντες μὲν τρέχυσιν, εἷς δὲ λαμβάνει τὸ βραβεῖον; ὕτω τρέχετε, ἵνα καταλάβητε. Πᾶς δὲ ὁ ἀγωνιζόμενος, πάντα ἐγκρατεύεται. ἐκεῖνοι μὲν οὖν ἵνα φθαρτὸν στέφανον λάβωσιν, ἡμεῖς δὲ ἄφθαρτον. Ἐγὼ τοίνυν ὕτω τρέχω, ὡς οὐκ ἀδήλως. ὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρων. Ἀλλ' ἀποτιάζω μου τὸ σῶμα, καὶ δελαγωγῶ, μήπως ἄλλοις κηρύξας, αὐτὸς ἀδόκιμος γένωμαι:

Ἀλληλουϊάριον.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν. Ὦ. Ῥαῖος κάλλει παρὰ τοὺς Υἱοὺς τῶν ἀνθρώπων.

Εὐαγγέλιον κατὰ Λυκᾶν.

Ἐν ἔτει πεντεκαιδεκάτῳ.

Καὶ καθ' ἑξῆς, ἡ θεία Λειτυργία τῦ μεγάλυ Βασιλείυ.

Κοινωνικόν. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν Οὐρανῶν.

Μετὰ δὲ τὸν ὀπισθάμβωνον Εὐχὴν, ἐξερχόμεθα εἰς τὴν Κολυμβήθρα, προπορεύομενυ τῦ Ἱερέως μετὰ λαμπάδων, καὶ τῦ θυμιατῦ, καὶ ἡμεῖς ψάλλομεν τὰ παρόντα Ἰδιόμ. ἐκ τρίτε.

Ἦχος, πλ. δ.

Φωνὴ Κυρίυ ἐπὶ τῶν ὑδάτων βοᾷ λέγυσα. δεῦτε λάβετε πάντα, πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα φόβου Θεῦ, τὸ ἐπιφανὲν τοῖς Χριστιανοῖς.

Ἡ μορφὴ τῶν ὑδάτων, ἁγιάζεται ἡ φύσις. καὶ ῥύγμυται ὁ Ἰορδάνης, καὶ τῶν ἰδίων ῥευμάτων ἐπέχει τὸ ῥεῦμα, Δεσπότυ ὁρῶν ῥυπτόμενον.

Σὺ αὐθρωπος ἐν Ποταμῷ, ἦλθες Χριστὲ Βασιλεῦ. καὶ δελικὸν βάπτισμα λαβεῖν, ἀπάδεις ἁγαθὲ ἀπὸ τῶν τῦ Προδρόμυ χειρῶν, διὰ τὰς ἁμαρτίας ἡμῶν φιλανθρώπε:

Δόξα, ὁ αὐτός.

Ῥοὲ τὴν φωνὴν τῶν βοώντων ἐν τῷ ὄρει· ἑτοιμάσατε τὴν ὁδὸν τῦ Κυρίυ, ἦλθε Κύριε μορφὴν δύλυ λαβών, βάπτισμα αἰτῶν, ὁ μὴ χρῄζων ἁμαρτίας. ἐδοσάμην σε ὕδατα καὶ ἐφοβήθησαν. σωτὴρ μου γέγονεν ὁ Πρόδρομος, καὶ ἐβόησε λέγων. πῶς φωτίσει ὁ λύχνος τὸ φῶς; πῶς χειροθετήσει ὁ δῦλος τὸν Δεσπότην; ἁγίασον ἐμὲ Σὺ τὰ ὕδατα Σωτὴρ, ὁ αἴρων τὸν Κόσμον τὴν ἁμαρτίαν:

Καὶ μὴν, τὸ αὐτό.

Καὶ ἀθὺς τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐυ τὸ Ἀνάγνωσμα.

Κεφ. στ. α.

Ἀδὲ λέγει Κύριος, εὐφραίνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀνθήτω ὡς κρίνον. Καὶ βλαστήσει, καὶ ὑλοχαρήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τῦ Ἰορδάνυ, καὶ ἡ δόξα τῦ Λιβάνυ ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τῦ Καρμήλυ, καὶ ὁ λαός μυ ὄψεται τὴν δόξαν Κυρίυ, καὶ τὸ ὕψος τῦ Θεῦ. Ἰσχύσατε χεῖρας ἀφειμέναι, καὶ γόνατα παραλελυμένα. Παρακαλέσατε, καὶ εἴπατε τοῖς ὀλιγοψύχοις τῇ διανοίᾳ. ἰσχύσατε, καὶ μὴ φοβεῖσθε. ἰδὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκύσονται. Τότε ἁλεῖται χωλὸς ὡς ἔλαφος, καὶ φανὴ ἔσται γλῶσσα μογγιλάλων. ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ. Καὶ ἔσται ἡ ἀνυδρος εἰς ἕλη, καὶ εἰς τὴν διψῶσαν γῆν πηγὴ ὕδατος ἔσται, ἐκεῖ δὲ ἀνθρωσιὴν ὀρνέων, ἐπαύλεις ποιμνίων καλάμυ καὶ ἕλη. Καὶ ἔσται ἐκεῖ ὁδὸς καθαρὰ, καὶ ὁδὸς ἁγία κληθήσεται. ὐκ παρέλθῃ ἐκεῖ ἀκάθαρτος, ὐδὲ ἔσται ἐκεῖ ὁδὸς ἀκάθαρτος. οἱ δὲ διεσπαρμένοι πορεύσονται ἐπ' αὐτῆς, καὶ ὐκ πλανηθῶσι. Καὶ ὐκ ἔσται ἐκεῖ λέων, ὐδὲ θὴρ πονηρὸν θηρίων, ὐ μὴ ἀναβῇ εἰς αὐτὴν, ὐδὲ μὴ ἁρεθῇ ἐκεῖ, ἀλλὰ πορεύσονται ἐν αὐτῇ λελυτρωμένοι, καὶ σωθησόμενοι διὰ Κύριον. Καὶ ἀποστραφήσονται, καὶ ἥξουσιν εἰς Σιὼν μετ' ἀνθρωσιᾶς, καὶ ἀνθρωσιὴ αἰώνιος ὑπὲρ κεφαλῆς αὐτῶν. Θὸς γὰρ ὑπὲρ κεφαλῆς αὐτῶν αἴρεσις καὶ ἀγαλλίαμα, καὶ ἀνθρωσιὴν καταλήψεται αὐτύς. ἀπέδρα ὀδύνη, λύπη, καὶ στεναγμός:

Προφητείας Ἡσαΐυ τὸ Ἀνάγνωσμα.

Κεφ. νέ. α.

Ἀδὲ λέγει Κύριος. οἱ διψῶντες πορεύεσθε ἐφ' ὕδωρ. καὶ ὅσοι μὴ ἔχετε ἀργύριον, βαδί-

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

δίσαντες ἀγοράσατε. καὶ φάγετε, καὶ πορεύεσθε, καὶ ἀγοράσατε ἄνευ ἀργυρίου Ϛ τιμῆς οἶνον καὶ σίκερα. Ἵνα τί τιμᾶσθε ἀργυρίου ἐν οὐκ ἄρτοις, καὶ τὸν μόχθον ὑμῶν οὐκ εἰς πλησμονήν; Ἀκούσατέ μου, καὶ φάγεσθε ἀγαθὰ, καὶ ἐμφυφήσει ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. Προσέχετε τοῖς ὠσὶν ὑμῶν, καὶ ἐπακολουθεῖτε ταῖς ὁδοῖς μου. εἰσακούσατέ μου, καὶ ζήσεται ἐν ἀγαθοῖς ἡ ψυχὴ ὑμῶν. καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια Δαβὶδ τὰ πιστά. Ἰδοὺ μαρτύριον ἐν Ἔθνεσιν ἔδωκα αὐτὸν, ἄρχοντα καὶ προστάσσοντα Ἔθνεσιν. Ἰδοὺ Ἔθνη, ἃ οὐκ οἴδασίσε, ἐπικαλέσονταίσε. καὶ λαοὶ οἳ οὐκ ἐπίστανταίσε, ΘΣ σε καταφεύξονται, ΣΝΕΚΕΝ Κυρίου τοῦ Θεοῦσου, καὶ τοῦ Ἁγίου Ἰσραὴλ, ὅτι ἐδόξασέσε. Ζητήσατε τὸν Κύριον, Ϛ ἐν τῷ εἶσκειν αὐτὸν, ἐπικαλέσασθε. ἡνίκα δ' ἂν ἐγγίζῃ ὑμῖν, Ἀπολιπέτω ὁ ἀσεβὴς τὰς ὁδὰς αὐτοῦ, ΚΣ ἀνὴρ ἄνομος τὰς βουλὰς αὐτοῦ, καὶ ἐπιστραφήτω ΘΣ πρὸς Κύριον, καὶ ἐλεηθήσεται. ὅτι ΘΣ πολὺ ἀφήσει τὰς ἁμαρτίας ὑμῶν. Οὐ γάρ εἰσιν αἱ βουλαί μου, ὥσπερ αἱ βουλαὶ ὑμῶν. οὐδ' ὡς πορ αἱ ὁδοὶ ὑμῶν, αἱ ὁδοί μου λέγει Κύριος. Ἀλλ' ὡς ἀπέχει ὁ Οὐρανὸς ἀπὸ τῆς γῆς, οὕτως ἀπέχει ἡ ὁδός μου ἀπὸ τῶν ὁδῶν ὑμῶν, καὶ τὰ διανοήματα ὑμῶν ἀπὸ τῆς διανοίας μου. Ὡς γὰρ ἂν καταβῇ ὁ ὑετὸς ἢ χιὼν ἐκ τοῦ Οὐρανοῦ, καὶ οὐ μὴ ἀποστραφῇ ἕως ἂν μεθύσῃ τὴν γῆν, καὶ ἐκτέκῃ, καὶ ἐκβλαστήσῃ, καὶ δῷ σπόρμα τῷ σπείροντι, καὶ ἄρτον εἰς βρῶσιν, Οὕτως ἔσται τὸ ῥῆμά μου, ὃ ἐὰν ἐξέλθῃ ἐκ τοῦ στόματός μου, οὐ μὴ ἀποστραφῇ πρός με κενὸν, ἕως ἂν τελεσθῇ ὅσα ἂν ἠθέλησα, καὶ εὐοδώσω τὰς ὁδούς σου, καὶ τὰ ὀφθαλμά μου. Ἐν γὰρ εὐφροσύνῃ ἐξελεύσεσθε, καὶ ἐν χαρᾷ διδαχθήσεσθε. τὰ γὰρ ὄρη καὶ οἱ βουνοὶ ἐξαλοῦνται, προσδεχόμενοι ὑμᾶς ἐν χαρᾷ, καὶ πάντα τὰ ξύλα τοῦ ἀγροῦ ἐπικροτήσει τοῖς κλάδοις. Καὶ ἀντὶ τῆς σοιβῆς ἀναβήσεται κυπάρισσος, ἀντὶ δὲ τῆς κομίζης ἀναβήσεται μυρσίνη. καὶ ἔσται Κυρίῳ εἰς ὄνομα, καὶ εἰς σημεῖον αἰώνιον, καὶ οὐκ ἐκλείψει.

Κεφ. ιβ'. 3.

Προφητείας Ἡσαΐου τὸ Λ' μάχιρωμα.

Τάδε λέγει Κύριος. ἀπολούσασθε ὕδωρ μετ' εὐφροσύνης, ἐκ τῶν πηγῶν τοῦ σωτηρίου. Καὶ ὁρᾶτε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. ὑμνεῖτε Κύριον, βοᾶτε τὸ ὄνομα αὐτοῦ, ἀναγγέλατε ἐν τοῖς Ἔθνεσι τὰ ἐνδοξα αὐτοῦ, μιμνήσκεσθε ὅτι ὑψώθη τὸ ὄνομα αὐτοῦ. Ψάλατε τῷ ὀνόματι Κυρίου, ὅτι ὑψηλὰ ἐποίησεν. ἀναγγέλατε ταῦτα ἐν πάσῃ τῇ γῇ. Ἀγαλλιᾶσθε, καὶ εὐφραίνεσθε, οἱ κατοικοῦντες Σιών. ὅτι ὑψώθη ὁ Ἅγιος τοῦ Ἰσραὴλ, ἐν μέσῳ αὐτῆς.

Καὶ ᾠδὴ, Προκείμενον.

Κύριος φωτισμός μου καὶ Σωτήρ μου.
Κύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους, α'. Ἐπιστολὴ Παύλου.

Ἀδελφοί. οὐ θέλω ὑμᾶς ἀγνοεῖν, ὅτι οἱ Πατέρες ὑμῶν πάντες ὑπὸ τὴν νεφέλην ἦσαν, καὶ πάντες διὰ τῆς θαλάσσης διῆλθον, Καὶ πάντες εἰς τὸν Μωϋσῆν ἐβαπτίσαντο, ἐν τῇ νεφέλῃ καὶ ἐν τῇ θαλάσσῃ, Καὶ πάντες τὸ αὐτὸ βρῶμα πνευματικὸν ἔφαγον, Καὶ πάντες τὸ αὐτὸ πόμα πνευματικὸν ἔπιον, ἔπινον γὰρ ἐκ πνευματικῆς ἀκολουθούσης πέτρας. ἡ δὲ πέτρα ἦν ὁ Χριστός.

Κεφ. ι'. 1.

Ἀλληλούια.

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαίου.

Ἐν καιρῷ ἐκείνῳ, ἦλθεν ὁ Ἰησοῦς ἀπὸ Ναζαρὲτ τῆς Γαλιλαίας, καὶ ἐβαπτίσθη ὑπὸ Ἰωάννου εἰς τὸν Ἰορδάνην. Καὶ εὐθέως ἀναβαίνων ἀπὸ τοῦ ὕδατος, εἶδε σχιζομένους τοὺς Οὐρανοὺς, καὶ τὸ Πνεῦμα ὡσεὶ περιστερὰν καταβαῖνον ἐπ' αὐτόν. Καὶ φωνὴ ἐγένετο ἐκ τῶν Οὐρανῶν. Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.

Κεφ. α'. 9.

Καὶ ᾠδὴ ὁ Διάκονος.

Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος Κόσμου, εὐστάθειας τῶν Ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.
Ὑπὲρ τοῦ ἁγιασθῆναι τὸ ὕδωρ τοῦτο τῷ Πνεύματι

Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας

μάμει ἐπιφοιτήσει τῷ Ἁγίῳ Πνεύματος, τῷ Κυρίου δεηθῶμεν.

Τ' πρὸ τῷ καταξιωθῆναι ἡμᾶς τῆς Βασιλείας τῆς Οὐρανῶν, τῇ μεταλήψει τῷ ὕδατος τούτου, τῷ Κυρίῳ δεηθῶμεν.

Τ' πρὸ τῷ γενέσθαι αὐτὸ, πρὸς καθαρισμὸν τῆς ψυχῶν, & τῆς σωμάτων ἡμῶν, τῷ Κυρίῳ δεηθῶμεν.

Τ' πρὸ τῷ δωρηθῆναι ἡμῖν, λύτρωσιν παραπτωμάτων, τῇ μεθέξει τῷ ὕδατος τούτου, τῷ Κυρίῳ δεηθῶμεν.

Τ' πρὸ τῷ καταπεμφθῆναι τοῖς ὕδασι τούτοις, τὴν χάριν τῆς ἀπολυτρώσεως, τὴν εὐλογίαν τῷ Ἰορδάνου, τῷ Κυρίου δεηθῶμεν.

Τ' πρὸ τῷ ἁγιασθῆναι αὐτὰ, πηγὴν ἀφθαρσίας, & ἁγιασμὸν δῶρον, τῷ Κυρίῳ δεηθῶμεν.

Τ' πρὸ τῷ γενέσθαι αὐτὰ, πᾶσι τοῖς χριομένοις πίστει, & μεταλαμβάνουσιν ἐξ αὐτῶν, καθαρισμὸν μολυσμῶ σαρκὸς & πνεύματος, τῷ Κυρίῳ δεηθῶμεν.

Τ' πρὸ τῷ ῥυσθῆναι ἡμᾶς, ἀπὸ πάσης θλίψεως, ὀργῆς, & ἀνάγκης, τῷ Κυρίῳ δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, & διαφύλαξον ἡμᾶς ὁ Θεὸς τῇ σῇ χάριτι.

Τῆς Παναγίας ἀχραάντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου, & Ἀειπαρθένου Μαρίας.

Ἐκφώνησις.

Ὅτι Ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, & σοὶ τὴν δόξαν.

Ὁ Ἱερεὺς τὴν εὐχὴν μυστικῶς.

Τῷ Κυρίῳ δεηθῶμεν.

